Ein attischer Redner argumentiert für die Unterstützung von demokratisch gesinnten Rhodiern, die von der oligarchischen Partei aus ihrer Heimat vertrieben wurden:

I. Übersetzung:

**17.** Ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑμεῖς πολέμους πεπολεμήκατε καὶ πρὸς δημοκρατίας καὶ πρὸς ὀλιγαρχίας. καὶ τοῦτο μὲν ἴστε καὶ αὐτοί· ἀλλ’ ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ’ ὑμῖν ὁ πόλεμος, τοῦτ’ ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστίν; πρὸς μὲν τοὺς δήμους ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνηθέντων δημοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους ἢ ὅρων ἢ φιλονικίας ἢ τῆς ἡγεμονίας· πρὸς δὲ τὰς ὀλιγαρχίας ὑπὲρ μὲν τούτων οὐδενός, ὑπὲρ δὲ τῆς πολιτείας καὶ τῆς ἐλευθερίας· **(18)** ὥστ’ ἔγωγ’ οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ὑμῖν ἢ ὀλιγαρχουμένους φίλους εἶναι. πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας οὐ χαλεπῶς ἂν εἰρήνην ὑμᾶς ποιήσασθαι νομίζω, ὁπότε βουληθείητε, πρὸς δ’ ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ ἔσθ’ ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν τοῖς μετ’ ἰσηγορίας ζῆν ᾑρημένοις εὖνοι γένοιντ’ ἄν.

**19.** Θαυμάζω δ’ εἰ μηδεὶς ὑμῶν ἡγεῖται Χίων ὀλιγαρχουμένων καὶ Μυτιληναίων, καὶ νυνὶ Ῥοδίων καὶ πάντων ἀνθρώπων ὀλίγου δέω λέγειν εἰς ταύτην τὴν δουλείαν ὑπαγομένων, συγκινδυνεύειν τι τὴν παρ’ ἡμῖν πολιτείαν, μηδὲ λογίζεται τοῦθ’ ὅτι οὐκ ἔστιν ὅπως, εἰ δι’ ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ’ ὑμῖν δῆμον ἐάσουσιν. ἴσασιν γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ πράγματ’ ἐπανάξοντας· ὅθεν δὴ κακὸν αὐτοῖς ἄν τι γενέσθαι προσδοκῶσι, τοῦτ’ ἀνελεῖν βουλήσονται. **(20)** τοὺς μὲν οὖν ἄλλους τοὺς ἀδικοῦντάς τινας αὐτῶν τῶν κακῶς πεπονθότων ἐχθροὺς ἡγεῖσθαι χρή· τοὺς δὲ τὰς πολιτείας καταλύοντας καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς ἐχθροὺς παραινῶ νομίζειν ἁπάντων τῶν ἐλευθερίας ἐπιθυμούντων.

II. Zusatzfragen:

Z. 2: Um welche stilistische Figur und um was für eine Art von Akkusativ handelt es sich bei dem Ausdruck πολέμους πεπολεμήκατε?

Z. 18: Erläutern Sie die Negation nach Θαυμάζω εἰ.
Nennen Sie eine Alternativkonstruktion!